**ANEXO A**

## Texto A9: Rapto de Perséfone por su tío Plutón

APOLODORO, BIBLIOTECA (I, 5, 14)

[A 5,1] Πλούτων δὲ Περσεφόνης ἐρασθεὶς Διὸς συνεργοῦντος ἥρπασεν αὐτὴν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιῄει/ μαθοῦσα δὲ παρ' Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς κατέλιπεν οὐρανόν, εἰκασθεῖσα δὲ γυναικὶ ἧκεν εἰς Ἐλευσῖνα. καὶ πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον ἐκάθισε πέτραν/ παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον, ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων, ἔνδον οὐσῶν γυναικῶν, καὶ λεγουσῶν τούτων παρ' αὐτὰς καθέζεσθαι, γραῖά τις Ἰάμβη σκώψασα τὴν θεὸν ἐποίησε μειδιᾶσαι.

NOTAS

A 5, 1 ἐρασθεὶς: verbo ἐράω. περιῄει: Imperfecto de indicativo del v περίειμι=περιέρχομαι. κατέλιπεν· v καταλείπω. εἰκασθεῖσα: Participio de aoristo pasivo del v εἴκαζω. κληθεῖσαν· Participio de aoristo pasivo del v καλέω. Ἀγέλαστον· ἀγέλαστος, ον. Agelasto. Literalmente "que no rie" Se refiere a la roca de Eleusis donde se sentó Deméter cuando buscaba a su hija. Καλλίχορον· Calícoro, nombre de un pozo. Literalmente "de bellos coros". ἐλθοῦσα. Participio de aoristo activo del verbo ἔρχομαι. Ἐλευσινίων· Ἐλευσίνιος, α, ον· Eleusinos, habitantes de Eleusis. οὐσῶν: Genitivo plural femenino del participio de presente del v εἰμί. λεγουσῶν τούτων· participio absoluto. σκώψασα. participio aoristo femenino de σκώπτω.

## Texto A10: Ártemis y Apolo

APOLODORO, BIBLIOTECA (I, 4, 1)

[A 4,1] Ἄρτεμις μὲν οὖν τὰ περὶ θήραν ἀσκήσασα παρθένος ἔμεινεν, Ἀπόλλων δὲ τὴν μαντικὴν μαθὼν παρὰ Πανὸς τοῦ Διὸς καὶ Ὕβρεως ἧκεν εἰς Δελφούς, χρησμῳδούσης τότε Θέμιδος· ὡς δὲ ὁ φρουρῶν τὸ μαντεῖον Πύθων ὄφις ἐκώλυεν αὐτὸν παρελθεῖν ἐπὶ τὸ χάσμα, τοῦτον ἀνελὼν τὸ μαντεῖον παραλαμβάνει.

NOTAS

4, 1 χρησμῳδούσης: participio absoluto. παρελθεῖν· v παρέρχομαι. ἀνελὼν· participio de aoristo radical temático activo v ἀναιρέω.

## Texto A5: Prometeo: el robo del fuego

APOLODORO, BIBLIOTECA (I, 7, 1)

[A 7,1] Προμηθεὺς δὲ ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρᾳ Διὸς ἐν νάρθηκι κρύψας.

ὡς δὲ ᾔσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι τοῦτο δὲ Σκυθικὸν ὄρος

ἐστίν ἐν δὴ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν ἐδέδετο καθ᾽ ἑκάστην δὲ ἡμέραν ἀετὸς

ἐφιπτάμενος αὐτῷ τοὺς λοβοὺς ἐνέμετο τοῦ ἥπατος αὐξανομένου διὰ νυκτός. καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος

δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν, ὡς ἐν τοῖς καθ᾽ Ἡρακλέα δηλώσομεν

NOTAS

A 7, 1 ὕδατος: ὕδωρ –ατος, τό. agua. ἔδωκεν· Aoristo de δίδωμι. λάθρᾳ: Valor adverbial. Διὸς: Genitivo de Ζεύς: Zeus (el padre de los dioses). νάρθηκι. νάρθηξ –ηκος, ἡ férula. caña, tablilla. κρύψας: Participio de aoristo de κρύπτω. ᾔσθετο. Aoristo de αἰσθάνομαι. ἐπέταξεν· Aoristo indicativo activo de ἐπιτάσσω. ὄρει. ὄρος –ους (-εος). προσηλῶσαι. Infinitivo de aoristo de προσηλόω. προσηλωθεὶς: Participio de aoristo pasivo de προσηλόω. ἐδέδετο. Tercera persona del singular del pretérito pluscuamperfecto pasivo de δέω1 ἐφιπτάμενος: Participio de presente de ἐφίπταμαι. volar hacia (con dativo). ἐνέμετο. Imperfecto de νέμω "devorar" κλαπέντος: Participio de aoristo pasivo de κλέπτω. μέχρις: Conjunción subordinada adverbial de tiempo "hasta que" ὕστερον· Adverbio.

**ANEXO B.** Jenof.Anáb. I. 2. 9-10: Ciro descansa en Celenas y reúne su ejército.

α [9]ἐνταῦθα Ξέρξης, ὅτε ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ ἀπεχώρει, λέγεται οἰκοδομῆσαι ταῦτά τε τὰ βασίλεια καὶ τὴν Κελαινῶν ἀκρόπολιν. ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα: β καὶ ἧκε Κλέαρχος ὁ Λακεδαιμόνιος φυγὰς ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷκας ὀκτακοσίους καὶ τοξότας Κρῆτας διακοσίους. γ ἅμα δὲ καὶ Σῶσις παρῆν ὁ Συρακόσιος ἔχων ὁπλίτας τριακοσίους, καὶ Σοφαίνετος Ἀρκάδας ἔχων ὁπλίτας χιλίους. δ καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες ὁπλῖται μὲν μύριοι χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους.

Κελαίνα, ας: Celenas, lugar
Κλεάρχος, ου: Clearco, general del ejército.
Σῶσις, εως . Sosias, general del ejército.
Σοφαίνετος, ου Soféneto, general del ejército.